τείμετροι. ἐπὶ τῶν ἀποθέσεσι καὶ τῷ τέλει παράγραφος. ἐν τοῖς Καλλιστράτου δὲ τοῖς ἐξ Οἰνομάου τοῦ Σοφοκλέους. πρό-

A σεισι πατραλοίας ἀκηκοὼς τὰ ἐν Ὄρνισι νόμιμα, ὅτι ἐξὸν τὸν πατέρα τύπτειν.

Γλαυκᾶς ἐπ' οἶδμα λίμνας.
Πει. Ἔοικεν οὐ ψευδαγγελὴς εἶν' ἄγγελος.
Ἄδων γὰρ ὅδε τις αἰετὸς προσέρχεται.
Οα. Αἶβοῖ.
Οὐκ ἔστιν οὐδὲν τοῦ πέτεσθαι γλυκύτερον.
Ἐρῶ δ' ἔγωγε τῶν ἐν ὄρνισι νόμων.
Ὀρνιθομανῶ γάρ. καὶ πέτομαι. καὶ βούλομαι
Οἰκεῖν μεθ' ὑμῶν. κἀπιθυμῶ τῶν νόμων.
Πι. Ποίων νόμων; πολλοὶ γὰρ ὀρνίθων νόμοι.
Πα. Πάντων. μάλιστα δ' ὅτι καλὸν νομίζεται,
Τὸν πατέρα τοῖς ὄρνισιν ἄγχειν καὶ δάκνειν.
Πει. Καὶ νὴ Δί' ἀνδρεῖόν γε πάνυ νομίζομεν
Ὃς ἂν πεπλήγῃ τὸν πατέρα νεοττὸς ὤν.
Πα. Διὰ ταῦτα μέντοι δεῦρ' ἀνοικισθεὶς ἐγὼ
Ἄγχειν ἐπιθυμῶ τὸν πατέρα, καὶ πάντ' ἔχειν.
Πι. Ἀλλ' ἔστιν ἡμῖν τοῖσιν ὄρνισιν νόμος
Παλαιὸς, ἐν ταῖς τῶν πελαργῶν κύρβεσιν.
Ἐπὴν ὁ πατὴρ ὁ πελαργὸς ἐκπετησίμους
Πάντας ποιήσῃ τοὺς πελαργιδεῖς τρέφων,
Δεῖ τοὺς νεοττοὺς τὸν πατέρα πάλιν τρέφειν.
Πα. Ἀπέλαυσα γὰρ νὴ τὸν Δί' ἐλθὼν ἐνθαδί,
Εἴπερ γέ μοι καὶ τὸν πατέρα βοσκητέον.
Πι. Οὐδέν γ'. ἐπειδή περ γὰρ ἦλθες, ὦ μέλε
Εὔνους, πτερώσω σ' ὥσπερ ὄρνιν ὀρφανόν.
Σοὶ δ' ὦ νεανίσκ' οὐ κακῶς ὑποθήσομαι.
Ἀλλ' οἷά περ αὐτὸς ἔμαθον ὅτε παῖς ἦ. σὺ γὰρ
Τὸν μὲν πατέρα μὴ τύπτε. ταυτηνὶ δέ γε λαβὼν,
Τὴν πτέρυγα, καὶ τουτὶ τὸ πλῆκτρον θητέρα,
Νομίσας ἀλεκτρυόνος ἔχειν γε τὸν λόφον.
Φρούρει, στρατεύου, μισθοφορῶν σαυτὸν τρέφε.
Τὸν πατέρ' ἔα ζῆν. ἀλλ' ἐπειδὴ μάχιμος εἶ,
Εἰς τἀπὶ Θρᾴκης ἀποπέτου, κἀκεῖ μάχου.
Πα. Νὴ τὸν Διόνυσον εὖ γέ μοι δοκεῖς λέγειν.
Καὶ πείσομαί σοι. Πει. νοῦν ἄρ' ἕξεις νὴ Δία.

*Albæ in vndam paludis.*
PI. *Apparet non mendax nunciator esse nuncius,*
*Canens hic aliquis aquila aduenit.*
PA. *Papæ, non est nihil volare dulcius,*
B *Amo autem ego has in auibus leges.*
*Auium more insanio enim, & volo, & volo*
*Habitare vobiscum, & cupio leges.*
PI. *Quales leges? multæ enim auium leges.*
PA. *Omnes maximè quod bonum putatur,*
*Patrem auibus suffocare & mordere.*
PI. *Et per Iouem virilem valde putamus,*
*Qui percussit patrem pullus existens.*
PA. *Propter hæc quidem huc habitans, ego*
C *Suffocare cupio patrem & omnia habere.*
PI. *Sed est nobis auibus lex*
*Antiqua, in ciconiarum tabellis.*
*Postquam pater pelargus euolabiles*
*Omnes faciet, pelargides nutriens,*
*Oportet pullos patrem rursus nutrire.*
PA. *Accepi enim per Iouem veniens huc,*
*Siquidem mihi & patrem pascendum.*
D PI. *Nihil. quoniam enim venisti ô miser*
*Beneuolus, alabo te tanquam auem orphanam.*
*Tibi autem ô adolescentule non malè suggeram,*
*sed qualia ipse didici quando puer eram. tu enim*
*Patrem quidem ne verbera, hanc autem capiens*
*Alam, & hoc plectrum altera,*
E *Putans galli habere cristam,*
*Custodi, milita, mercedem ferens, te ipsum nutri,*
*Hunc patrem sine viuere. sed quoniam pugnatores,*
*In hæc in Thracia auola, & illic pugna.*
PA. *Per Dionysium, benè mihi videris dicere,*
*Et parebo tibi.* PI. *Mentem igitur habebis per*
F *Iouem.*

Σχόλια. Λίμνας] καὶ ἐπὶ λίμνην τὴν θάλασσαν εἴρηκεν.

BISETUS. Λίμνας, λίμνης. λίμνη δὲ ἡ θάλασσα ἐνίοτε παρ' Ὁμήρῳ. λέγεται παρὰ τὸ λίαν μύειν. καταχρηστικώτερον δὲ καὶ περὶ τῶν ποταμῶν καὶ περὶ τῆς θαλάσσης λέγεται.

Σχόλια. Οὐ ψευδαγγελής] οὐ ψευδῆ ἀπηγγελκέναι. Αἶβοῖ.] τὸ αἰβοῖ οὐ μόνον ἐπὶ χλευασμοῦ ἐστι, ἀλλὰ καὶ ἐπὶ ἡδονῆς ὡς καὶ νῦν. Οὐκ ἔστιν οὐδὲν τοῦ πέτεσθαι] μετὰ τὸν ἑνὸς στίχου φέρουσί τινες διάλειμμα καὶ Ἀριστοφάνης πλήρωμα, οὕτως ἐρῶ δ' ἔγωγε τῶν ἐν ὄρνισι νόμων. Πολλοὶ γὰρ ὀρνίθων] γῦπες καὶ κόρακες περὶ νεκροὺς νέμονται, οἱ δὲ λάροι τὴν θάλατταν. ποίας οὖν νομῆς ἐπιθυμεῖς.

BISETUS. Γράφεται νόμοι, καὶ νομοί. νομὸς μὲν, καὶ νομὴ ταὐτὸ, παρὰ τὸ νέμεσθαι, τὸ βόσκεσθαι, καὶ τρέφεσθαι. εἰ δὲ νόμοι παροξυτόνως γράφοις, τοὺς θεσμοὺς νοήσεις. ὁ δὲ τόνος, καὶ προσῳδία διάφορος τὴν ἀμφιβολίαν αἴρει. τάχα δὲ παιδιᾶς χάριν τῇ τόνου ἀμφιβολίᾳ ἐν τῇ τῆς φωνῆς προφορᾷ ἐχρήσατο.

Σχόλια. Ἐν ταῖς τῶν πελαργῶν κύρβεσιν.] κύρβεις χαλκαῖ σανίδες ἔνθα τοὺς νόμους γράφουσι. κατὰ δὲ ἐνίους, ἄξονες τρίγωνοι ἐν οἷς ἦσαν οἱ τῶν πόλεων νόμοι γεγραμμένοι καὶ αἱ δημόσιαι ἱεροποιίαι. καθάπερ καὶ Ἀριστοτέλης ἐν τῇ τῶν Ἀθηναίων πολιτείᾳ φησὶ καὶ Ἀ-
G πολλόδωρος. κύρβεις δὲ, ἤτοι παρὰ τὸ κεκορυφῶσθαι εἰς ὕψος ἀνατεταμένον. ἢ ἀπὸ τῶν κορυβάντων. ἐκείνων γὰρ εὕρημα ὥς φησι Θεόπομπος ἐν τῷ περὶ εὐσεβείας. φησὶ δὲ Ἀριστοτέλης, ἀληθῆ εἶναι τὸν περὶ τῶν πελαργῶν λόγον, ὁμοίως δὲ αὐτοῖς ποιεῖν καὶ τοὺς ἀέροπας. διὸ ἐν τοῖς σκήπτροις ἀνωτέρω μὲν πελαργὸν τυποῦσι, κατωτέρω δὲ ποτάμιον ἵππον. δηλοῦντες ὡς ὑποτέτακται ἡ βία τῇ δι-